www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΝ

## ΑΓΙΟΝ ΚΑΙ ΕΝΔΟΞΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ

# ΙΓΝΑΤΙΟΝ ΤΟΝ ΘΕΟΦΟΡΟΝ,

## ΕΠΙΣΚΟΠΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

(οὗ ἡ μνήμη 20 Δεκεμβρίου)

* * *

Συνετέθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας

* * *

* 1996 *

**ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ**
**ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΙΓΝΑΤΙΟΝ ΤΟΝ ΘΕΟΦΟΡΟΝ**
*** * ***

Εὐλογητός, Θεὸς Κύριος, καὶ τὸ τροπάριον

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὁ βασταχθεὶς ἐν ταῖς Κυρίου ἀγκάλαις, καὶ ἐν ψυχῇ σου Τοῦτον πάλιν βαστάσας, Ἰγνάτιε μακάριε ἱκέτευε θερμῶς, ὅπως ἐνοικήσῃ μου, τῇ ψυχῇ τῇ ἀθλίᾳ, καὶ παθῶν τοὺς λέοντας, ὡς Ζωὴ θανατώσῃ, καταξιῶν με μοίρας δεξιᾶς, ὦ Θεοφόρε, ἐν ὥρᾳ τῆς Κρίσεως.

Δόξα. Τὸ αὐτό.
Καὶ νῦν. Θεοτοκίον. Οὐ σιωπήσομεν.

Ὁ Ν΄, μεθ' ὃν ὁ κανών, οὗ ἡ ἀκροστιχίς:

**"Θανάτωσον, Ἰγνάτιε, ψυχῶν ἡμῶν τὰ πάθη. Ἀ(θανάσιος)".**

ᾨδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην Φαραώ.

Θεὸν βαστάσας ἐν ψυχῇ Ἰγνάτιε, καὶ Θεοφόρος κληθείς, πάντας τοὺς τιμῶντας, τὴν ἁγίαν μνήμην σου, Θεὸν κρατεῖν ἀξίωσον, ἐν ψυχῆς ταμιείῳ, ὅπως Παράδεισον εὕρωμεν, ὅνπερ σὺ οἰκεῖς λεοντόβρωτε.

Ἀντιοχέων ἱεράρχα μέγιστε, καὶ Θεολόγε κλεινέ, τὸν ἡνιοχῆσαι, ἁμαρτίαις θέλοντα, ψυχὰς δεινὸν

ἀντίπαλον, σαῖς πρεσβείαις διώξαις, καὶ τὸν Χριστὸν μόνον οἴκησον, ἄρχοντα νοός τε καὶ σώματος.

Νενικηκὼς τοὺς λογισμοὺς Ἰγνάτιε, τοὺς γεννητὰς τῶν παθῶν, ἀπαθὴς ἐγένου, καὶ Χριστοῦ ὀσφράδιον, διὸ παρακαλοῦμέν σε, λεοντόψυχε Πάτερ, νικᾶν ἡμᾶς καταξίωσον, λογισμοὺς Κυρίου χωρίζοντας.

Θεοτοκίον

Ἄχραντε Μῆτερ ἡ Θεὸν γεννήσασα, ἐν ἡσυχίᾳ νυκτός, ὡς βιβλίοις γράφει, ὁ κλεινὸς Ἰγνάτιος, τὴν ἡσυχίαν σύμβιον, δεομένοις χαρίσαις, ὅπως Χριστοῦ τὰ προστάγματα, ἐν ψυχαῖς ἀγρύπνοις ἀκούωμεν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Τί σου πρῶτον θαυμάσω, θεοειδὲς ἄνθρωπε; πᾶσαν ἀρετὴν γὰρ μετῆλθες, ὡς μίαν ἕτεροι, διὸ παράσχου μοι, μικρὰν ἀπόμοιραν πλούτου, πάντιμε Ἰγνάτιε, ὃν ἐθησαύρισας.

Ὡραιώθη ζωή σου, ἐξ οὗ Χριστὸς ἔλαβεν, σὲ ὡς καθαρώτατον παῖδα, πάτερ Ἰγνάτιε, ὅθεν κραυγάζω σοι· παῖδα ἁπλοῦν τῇ καρδίᾳ, δεῖξον τὸν ὑμνοῦντά σε, καὶ πάνυ ἄδολον.

Στῆθι μέσον ζητούντων, τίς ἐν Θεῷ μέγιστος; καὶ βροντοφωνῶν λέγε Πάτερ· ὅστις ἐπλούτησεν, τὴν καθαρότητα, καὶ ὡς ἑκούσιος δοῦλος, πᾶσι διηκόνησε, διὰ τὸν Κύριον.

Θεοτοκίον

Ὁρατῶν λύτρωσαί με, καὶ ἀφανῶν Δέσποινα, λύκων τὴν ψυχὴν ἐκζητούντων, κατασπαράξαί μου, καὶ ἀρτιμέλειαν, ἐν ἐνεργείᾳ καὶ λόγῳ, σαῖς πρεσβείαις δώρησαι, ὅπως δοξάζω σε.

Διάσωσον, ἀπὸ κινδύνων Ἰγνάτιε θεοφόρε, τοὺς ἀπὸ ψυχῆς τιμῶντας τὴν μνήμην σου, καὶ ἴασαι, ἐκ παθῶν τῶν ποικίλων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Τὸ πῦρ τοῦ Χριστοῦ, Ἰγνάτιε ὑπάναψον, ψυχαῖς τῶν πιστῶς, τιμώντων θείαν μνήμην σου, καὶ παθῶν τὰ φρύγανα, σαῖς πρεσβείαις κατάκαυσον, ὑγιείαν διπλῆν, ἡμῖν Πάτερ χαριζόμενος.

ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Νοῦν μου κάθαρον Ἅγιε, μνήμῃ τοῦ Δεσπότου Ὃν ἔσχες πάντοτε, τοῦ νοός σου ἀδολέσχημα, καὶ γλυκαίνοντά σου τὰ νοήματα.

Ἱερεύσας ἁγνότητι, θυσιαστηρίῳ Χριστοῦ Ἰγνάτιε, διὰ Κύριον ἀξίωσον, πάθη θύειν πάντας τοὺς τιμῶντάς σε.

Γνοὺς Σωτῆρα τὸν Κύριον, τούτῳ πάντα βίον σου ἀφιέρωσας, Ὧ ζωήν μου ἀνατίθεσθαι, ἅγιε Ἰγνάτιε παράσχου μοι.

Θεοτοκίον

Νίκησόν μου ἀμέλειαν, Πάναγνε Παρθένε καὶ τὴν ἐγρήγορσιν, χαρίσαί μοι ὅπως γένωμαι, Βασιλείας μέτοχος Δεσπότου μου.

ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἄρον τὰ δεσμά, λεοπάρδων ὦ Ἰγνάτιε, καταδεσμούντων τὴν καρδίαν μου, ἀπανθρώπως, καὶ ψυχῆς πρὸς θάνατον ἀγόντων με.

Τύραννον ὠμόν, καὶ μισόψυχον ἀπόστησον, τὸν καθ' ἑκάστην προσωθοῦντά με, ἁμαρτάνειν, Θεοφόρε πάντιμε Ἰγνάτιε.

Ἴθυνον ποδῶν, τρίβους Πάτερ διανοίας μου, πρὸς τὸν Δεσπότην δι' Ὃν ἔδραμες, ἐξ Ἑῴας, πρὸς θανὴν ὡς ἔλαφος χριστόδιψος.

Θεοτοκίον

Ἔλεος Ἁγνή, ἐκζητῶ παρὰ Κυρίου μου, ἀλλὰ μὴ ἔχων τὸ εὐπάρεδρον, Σὲ ὡς μεσῖτιν, τούτῳ Ἄχραντε προβάλλομαι.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ψαλτήριον, μελῳδοῦν Ἰγνάτιε, τὴν ἀγάπην τοῦ Χριστοῦ ἐγεγόνεις, ὅθεν ποθῶν, τὸ μαρτύριον θῆρας, σταυρὸν καὶ πῦρ ἐξεζήτεις καὶ θάνατον, ἀξίωσον οὖν καὶ ἡμᾶς, ἀγαπᾶν ἐκ ψυχῆς τὸν Φιλάνθρωπον.

Ὑπήντησας, τῷ Δεσπότῃ Ἅγιε, καὶ ἐνίδρυσας Αὐτὸν ἐν ψυχῇ σου, διὸ πυρί, συγκραθεὶς τῷ ἀΰλῳ, πῦρ τὸ φιλόϋλον ὅλως ἀπέσβεσας· δεόμεθά σου ἐκτενῶς, τῷ πυρὶ τοῦ Θεοῦ ἡμᾶς πύρωσον.

Χαρίτωσον, τὰς ψυχὰς Ἰγνάτιε, τῶν τιμώντων τὴν ἁγίαν σου μνήμην, ἐν πειρασμοῖς, ἀδοκήτοις καὶ θλίψει, ὑποπιπτούσας ἑκάστοτε Ἅγιε, χωρὶς γὰρ θείου στηριγμοῦ, αἱ ἰγνύες ἡμῶν καταπίπτουσι.

Θεοτοκίον

῾Ως εἴρηκας, τῷ ᾿Αγγέλῳ Δέσποινα, γενηθήτω μοι ὡς Κύριος θέλει, οὕτως ἡμᾶς, ἀξιώσαις Παρθένε, τῷ θεϊκῷ ὑποκλίναι θελήματι, καὶ πράττειν τοῦτο ἐκ ψυχῆς, ὡς ζωὴν ἀποφέρον αἰώνιον.

Διάσωσον, ἀπὸ κινδύνων ᾿Ιγνάτιε θεοφόρε, τοὺς ἀπὸ ψυχῆς τιμῶντας τὴν μνήμην σου, καὶ ἴασαι, ἐκ παθῶν τῶν ποικίλων.

῎Αχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα, μητρικὴν παῤῥησίαν.

Κοντάκιον. ῏Ηχος β΄. Προστασία τῶν χριστιανῶν.

Φαιδροτάταις αὐγαῖς τοῦ Δεσπότου σου, σκοτασμὸν πλάνης Πάτερ ἐβύθισας, αἵματί σου, ἐπισφραγίσας φίλτρον ζωηρόν, διό, πρέσβευε ὑπὲρ ἡμῶν, ὥστε γενέσθαι μιμητάς, τῆς ἀγάπης σου ῞Αγιε· ὅπως παγίδας πάσας, φύγωμεν ψυχολέθρους, καὶ κληρονόμοι τοῦ Χριστοῦ, ὦ ᾿Ιγνάτιε γενώμεθα.

Προκείμενον. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχος. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**ΕΥΑΓΓΕΛΙΟΝ**

᾿Εκ τοῦ κατὰ ᾿Ιωάννην.

Εἶπεν ὁ Κύριος· ᾿Εγώ εἰμι ἡ θύρα. Δι᾿ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται. Καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. ῾Ο κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ. ᾿Εγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. ᾿Εγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ῾Ο ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ῾Ο μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ

εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης. Κἀκεῖνά με δεῖ ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...καὶ τὸ προσόμοιον.
Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.

Ὅλην συνεκέρασας, τὴν σὴν ζωὴν τῷ Δεσπότῃ, ἅγιε Ἰγνάτιε, ἐκ παιδὸς καὶ γέγονας, θεῖον σκήνωμα, πάσας τὰς ἐννοίας σου, καὶ τὰς ἐνεργείας, Τούτῳ μόνῳ καθυπέταξας, διὸ καὶ γέγονας, Θεοφόρος κλήσει καὶ πράγματι, ὅθεν ὡς σῖτος τίμιος, λέουσιν ἠλέσθης καὶ δέδειξαι, ἄρτος ζωηφόρος, πιστοὺς στηρίζων Πάτερ ἐν Χριστῷ, καὶ χορηγῶν ἱκεσίαις σου, οὐρανοῦ τὴν οἴκησιν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου... κλπ.

Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.

Νίκην νικήσας τὴν ὑψίστην, νίκην χάρισαι, ἡμῖν κατ᾿ ἐναντίων, ἐξωθούντων Θεόν, ἀρνήσασθαι τῷ βίῳ, καὶ θῦσαι κτίσει Ἅγιε, ἢ Αὐτῷ ὥσπερ ἐμπρέπει.

Ἤχθης ἐνώπιον τυράννου, καὶ θεότητα, ἐκήρυξας Δεσπότου, ἐμπλησθεὶς θαυμαστῶς, Πνεύματος Παναγίου, ὃ καὶ ἡμῖν Ἰγνάτιε, ἱκεσίαις σου δωρήσαις.

Μνήσθητι πάντων δεσμουμένων, ὦ Ἰγνάτιε, δεσμοῖς τοῦ μισοψύχου, καὶ κλοιοὺς ὡς ἱστόν, διάῤῥηξον ἀράχνης, ὅπως ἀέρα πνεύσωσι, τῆς Χριστοῦ ἐλευθερίας.

Θεοτοκίον

Ὥρα ἐγγίζει ἡ ἐσχάτη, καὶ μετάνοιαν, οὐκ ἔχω Θεοτόκε, δι᾿ἧς μόνον Χριστοῦ, ἀνοίγεται ἡ πύλη, ὅθεν ταύτην παράσχου μοι, ὡς φιλότεκνός μου Μήτηρ.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει.

Νύσσαν φθάσας τῆς θείας βασιλείας, τῶν τιμώντων σε, Ἰγνάτιε μνησθείης, κοινωνοὺς ἀγαθῶν, δεικνὺς ἐπουρανίων, ὧν ἀπολαύεις Ἅγιε, συνεδρεύων τῷ Δεσπότῃ.

Τῶν ἀΰλων Δυνάμεων διδάσκεις, τὴν κατάστασιν, πιστοῖς ὦ Θεοφόρε, ἃς ἡμῶν βοηθούς, κατάστησον εὐχαῖς σου, ὅπως ἐχθροῦ ὑψώματα, καταβάλλωμεν ἐνθέως.

Ἄνερ θεῖε χριστόθυτε σὸν αἷμα, πρὸς τὸν Κύριον, βοᾷ ἀδιαλείπτως, ὑπὲρ πάντων πιστῶν, τιμώντων τὴν σὴν μνήμην, οἷς δώρησαι τὴν ἄφεσιν, παραπτώσεων ποικίλων.

Θεοτοκίον

Πίπτω Κόρη ὡς πετεινὸν ἐκ βέλους, τὰ θελήματα, ποιῶν τοῦ ἀντιδίκου, ὃν μισῆσαι ποτέ, ἐξ ὅλης μου καρδίας, καταξιώσαις Δέσποινα, ἡ ἐλπὶς ἀπηλπισμένων.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἀγάπης τοῦ Δεσπότου θῦμα φανείς, ἐκ παιδὸς Θεοφόρε Ἰγνάτιε, ταύτην ἡμῖν, δίδου ἐν καρδίαις ἀειφλεγῆ, δι᾿ ἧς καὶ δυνησόμεθα, πάθη κατεφλέξαι τὰ χαλεπά, καὶ θείαν ἀμαυροῦντα, ψυχῶν ἡμῶν εἰκόνα, ἣν ὁ Χριστὸς σφόδρα ἠγάπησεν.

www.tezaurliturgic.ro

Θεοῦ τὸν Ἄρτον θύων ἀρχιερεῦ, ἄρτος θεῖος ἐψήθης Ἰγνάτιε, ὑπὸ θηρῶν, ἐν τῷ Κολοσσαίῳ καταλεσθείς, καὶ παρετέθης ἔδεσμα, πᾶσι φιλομάρτυσι ποθητόν, οὓς φύλαττε παμμάκαρ, πτωμάτων αἰφνιδίων, καὶ ἄρτους δεῖξον χριστοέψητους.

Ἡ ἔνχριστος καρδία σου μαρτυρεῖ, τὸ σφοδρὸν σῆς ἀγάπης Ἰγνάτιε, ὅτι χρυσοῖς, γράμμασιν ἐγράφη τὸ Ἰησοῦς, τὸ ποθητόν σοι Ὄνομα, ὡς διαπεπίστευται θαυμαστῶς, μετὰ τὴν ἄθλησίν σου, ὅθεν ἡμῶν καρδίαις, τοῦτο ἐγγράψαις χριστοέραστε.

Θεοτοκίον

Ἁπλώσαις τὴν σὴν σκέπην ὡς Ἀγαθή, χριστωνύμοις Πανάχραντε Δέσποινα, καὶ δροσισμόν, τῶν ἱκεσιῶν σου τῶν μητρικῶν, παράσχοις καταφεύγουσιν, ὑπὸ τῶν πτερύγων σου τὴν σκιάν, καὶ ποῦ ἑτέραν Κόρη, εὕρωμεν προστασίαν, οἱ τὸν Δεσπότην παροργίζοντες;

Ἄξιόν ἐστι... καὶ τὰ Μεγαλυνάρια.

Ὕδωρ τὸ ἁλλόμενον εἰς ζωήν, Ἰγνάτιε πάτερ, θησαυρίσας ἐν τῇ ψυχῇ, ἔσπευσας τεθνᾶναι, ὑπὸ θηρῶν ἀγρίων, διὸ τὴν μακαρίαν, ζωὴν ἐτρύγησας.

Ὥσπερ ἀπειρόκακος πάτερ παῖς, παρὰ τοῦ Δεσπότου, ἠγκαλίσθης καὶ παρ' Αὐτοῦ, δῶρον τὴν ἀγάπην, καὶ τὴν θεολογίαν, ἐπλούτησας ἐνθέως, θεῖε Ἰγνάτιε.

Ἄρτον ἀγαπήσας τὸν μυστικόν, ἤδη Τοῦτον τρώγεις, ἐν τῷ Δείπνῳ ἄνω Σιών, Ὅνπερ δίδου Πάτερ, τοῖς πόθῳ ἐκζητοῦσι, ἐκ σοῦ ζωοτροφίαν, τὴν ἐπουράνιον.

Χαίροις Θεοφόρε μάρτυς Χριστοῦ, καὶ μὴ παύσῃ Τούτῳ, ἱκετεύων ὑπὲρ ἡμῶν, ὅπως κατακαύσῃ, παθῶν

www.tezaurliturgic.ro

αἰσχρῶν ἀκάνθας, καὶ βίον μεταλλάξῃ, πρὸς τὸ θειότερον.

Σὸν ναὸν Ἰγνάτιε ἱερόν, δεῖξον ἰατρεῖον, νοσημάτων παντοειδῶν, τὸν Χριστὸν παρέχων, ὡς φάρμακον σοῖς δούλοις, τὸν τὴν ζωὴν διδόντα, τὴν ἐπουράνιον.

Πᾶσαι τῶν Ἀγγέλων....

Τρισάγιον κλπ.

Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅταν ὁ ἀντίδικος ἐχθρός, βάλλῃ καθ᾽ ἡμῶν λεοντίως, πάτερ Ἰγνάτιε, τότε σὺ παράστηθι, παρακαλῶν τὰς ψυχάς, καὶ τὴν νίκην δωρούμενος, τοῖς πόθῳ τιμῶσι, σὰ σεπτὰ παλαίσματα, διὰ τὸν Κύριον, Ὅνπερ καὶ ἡμᾶς ἀξιώσαις, ἐν τοῖς στέρνοις ἔχειν ἀεί που, θεῖον θησαυρὸν καὶ ἀξιέραστον.

Δέσποινα πρόσδεξαι. Τὴν πᾶσαν ἐλπίδα μου....

Στίχοι

Λέοντας Χριστοῦ πυρπνόους δείξαις ὅσοι,
σήν, χρίσταθλ᾽ Ἰγνάτιε, μνήμην τιμῶσι.

* * *

Ἐτελειώθη ὁ Παρακλητικὸς οὗτος κανὼν τοῦ Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου, ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω, τῇ 15.11. 1995.